# Week 11 Leyden and Stockholm Papyri (selections); Zosimus, *On Excellence, The Work; Hermetica: Stob. Herm. 26.13, 28-29; Isis to Her Son Horus*

P.Leyden.X

3.) *Κασσιτέρου κάθαρσις | τοῦ βαλλομένου εἰς τὴν κρᾶσιν τοῦ ἀσήμου.* ‖

*Λ̣α̣[βὼν] κασσίτερον καθαρὸν ἀπὸ πάντων χώ|νευε καὶ ἔασον ψυγῆναι καὶ ἀλείψας ἔλαιον | καὶ διεὶς πάλιν χώνευε. Εἶτα τρίψας ἔλαιον | καὶ ἄσφαλτον καὶ ἅλας, ἄλειψον καὶ ἐκ τρίτου χώ|νευε, καὶ ἐὰν χωνευθῇ ἀπόθου καθαρίως πλύν‖ας· ἔσται γὰρ ὡς ἄργυρος σκληρός. Ὅταν δὲ ἀντὶ | ἀργυρωμάτων ἐργάζεσθαι θέλῃς, ἵνα λάθῃ κ(αὶ) | ἔχῃ τὴν τοῦ ἀργύρου σκληρίαν, πρόσμισγε τοῖς | τέτρασιν μέρεσιν τοῦ ἀργύρου μέ(ρη) γʹ, καὶ γενή|σεται τὸ προκείμενον ὡς ἀργύρωμα.* ‖

(6.) *Ἀσήμου δίπλωσις.* ‖

*Ἡ δὲ δίπλωσις τοῦ ἀσήμου γίνεται οὕτως· | τοῦ ἐξιωμένου χαλκοῦ μʹ, καὶ ἀσήμου ηʹ | καὶ κασσιτέρου βούλλης μʹ. Χωνεύεται δ̣ὲ̣ | πρῶτος ὁ χαλκός, καὶ μετὰ δύο πυρώσεις ὁ κα|σσίτερος, εἶτα ὁ ἄσημος, εἶτα, ὅταν ἀμφότερα ‖ μαλακ<ὰ> γένηται, ἀναχώνευε πολλάκις, καὶ | κατάψυχε τῷ προειρημένῳ σκευάσματι· | εἶτα πλατύνας ταῖς αὐταῖς οἰκονομίαις ἀν|άσμηχε τῷ κουφολίθῳ. Καὶ τρίπλωσις γίνε|ται ταῖς αὐταῖς οἰκονομίαις, καταμεριζομέν‖αις ταῖς ὁλκαῖς ἴσως, ὡς προείρηται.*

(25.) *Ἀργύρου κάθαρσις.* |

*Πᾶσάν τις ἄργυρον καθαίρειν καὶ λαμπρύνειν. | Λαβὼν μέ(ρος) αʹ τοῦ ἀργύρου καὶ τὸ ἴσον μολίβου χαλά|σας εἰς κάμινον τῆκε ἄχρι ἂν ὁ μόλιβος ἀναλωθῇ | κ(αὶ) τοῦτο πολλάκις ἀ̣ε̣ὶ ἄχρι λαμπρὸς γένηται.*

(31.) *Κασσίτερον γνῶναι εἰ δεδόλωται.* |

*Χωνεύσας αὐτὸν ὑπόστρωσον χαρτὴν καὶ ἔγχεον.*

(35.) *Ἄσημον μέλανα ποιῆσαι ὡς ὀψιανόν.* ‖

*Ἀσήμου μέ(ρη) βʹ, μολίβου μέ(ρη) δʹ, ἐπιθεὶς ἐπ᾽ ὄστρακον | καινὸν ἐπέμβαλε θεῖον ἄπυρον τριπλοῦν καὶ εἰσ|ενέγκας εἰς τὴν κάμινον, χώνευε καὶ ἐξενέ|γκας ἔλαυνε καὶ ποίει ὃ θέλεις, ἐάν τε ἐλαστὸν | ἐάν τε χυτὸν ζῳδίον θέλῃς ποιῆσαι, καὶ τότε ‖ ῥίνα καὶ κόλαπτε. Ἔστιν δὲ ἀνίωτον.* |

(37.) *Ὥστε φαίνεσθαι τὰ χαλκᾶ χρυσᾶ. ‖ Καὶ οὔτε τῇ πυρώσει οὔτε τῇ παρατρίψει τῇ | πρὸς τὸν λίθον ἐλέγχεσθαι, ποιεῖν δὲ μάλιστα | ἐπὶ τὸν δακτύλιον τὴν φαντασίαν.*

*Εἶναι | δὲ τὴν κατασκευὴν τοιάνδε· τρίβουσι χρυσὸν καὶ | μόλιβον λεπίδα ὡς ἄλευρα, δύο μέρη τοῦ μολίβου ‖ πρὸς ἕν, εἶτα μίξαντες τῷ κόμμιδι ἀναφυρῶ|σιν καὶ μετὰ ταῦτα ἀλείφουσιν τὸν δακτύλιον, | εἶτα πυροῦσιν. Τοῦτο δὲ ποιοῦσιν πλεονάκις | ἕως ἀναλάβῃ τὴν χροιάν. Δυσέλε-*

γκτον δ’ ὅτι τήν | τε παράτριψιν χρυσίου ποιεῖ καὶ πυρούμενος ‖ τὸν μὲν μόλιβον ἐντήκει, τὸν δὲ χρυσὸν οὔ.

(54.) Χρυσίου ποίησις. |

Ἀσήμου ϛ α′ ἢ χαλκοῦ κυπρίου γ′, χρυσίου | ϛ δ′ συγχώνευσον ἅμα. ‖

(55.) Ἄλλη. |

Ἀργύρεον χρύσεον ποιῆσαι εἰς αἰῶνα μόνι|μον. Λαβὼν ὑδρ<άρ>γυρον καὶ πέταλα χρύσεα | {ποίησον κ.} | ποίησον κηρῶδες καὶ λαβὼν ἀργύρεον ‖ σκεῦος σμῆξον αὐτὸ στυπτηρίᾳ καὶ λαβὼν | ἐκ τοῦ κηρώδους χρίε αὐτὸ λεαντηρίῳ καὶ | ἔα αὐτὸ παγῆναι. Τοῦτο ποίει πεντάκις. | Κράτει δὲ αὐτὸ λινῷ ῥάκει καθαρῷ ἵνα μὴ | πιτυρίσῃ καὶ λαβὼν μαρίλια ποίησον τέ‖φραν, λέαινε λεαντηρίῳ καὶ χρῶ ὡς σκεύει ν|ομίμῳ. Πεπείραται.

P. Holm.

(43.) Ἄλλη. [Σμαράγδου ποίησις] |

Χρυσοκόλλης ὁλκῆς ἥμισυ, ἀρμενίου τὸ αὐτό, οὔ|ρου ἀφθόρου παιδὸς κοτύλης ἥμισυ, χολῆς ταυ|ρίας τοῦ ὑγροῦ δίμοιρον μείξας βάλε τοὺς λίθους | ἄγοντας ἀνὰ δωδέκατον ὁλκῆς. Καὶ πωμάσας ‖ τὸ χυτρίδιον περιπήλωσον τὸ πῶμα καὶ καῖε | ἐλαΐνοις ξύλοις στερεοῖς ἐλαφρῷ τῷ πυρὶ ἐπὶ | {ἐπὶ} ὥρ(ας) ϛ′. Ἐὰν δὲ γένηται σημεῖον τοιοῦτον, | τὸ πῶμα χλωρόν, μηκέτι καῖε ἀλλὰ καταψύ|ξας ἆρον καὶ εὑρήσεις γεγονότα. Ἔστι δὲ ὁ λίθος ‖ κρύσταλλο[ς]. [Ἑ]ψομένη ἐν κίκει μέλαινα γίνεται. |

(61.) Ἄλλη.[ Μαργαρίτου σμῆξις.] |

Ἄσβεστον, μηδέπω λυθεῖσαν ὕδατι ἴδιον ‖ ἔχουσαν μετὰ τὴν κάμινον τὸ ἀφανὲς ἔν|δοθεν πῦρ, κυνείῳ κατασβεννύουσι γάλακ|τι, κυνὸς δὲ λευκῆς. Εἶτα φυρῶσιν καὶ περι|-πλάσαντες τῷ μαργάρῳ ἐῶσιν οὕτως α′ ἡμ(έραν) | καὶ ἀποψήσαντες εὑρίσκουσιν λελευκασμέν(ον).

(74.) Ἰοῦ ποίησις τοῦ εἰς τὸν σμάραγδον ἐκ χαλκοῦ κυπρί|ου εὐπαγῆ.

Λεπίδα κισήριδι μεθ’ ὕδατος ἀποσμήξ|ας ἐπιμελῶς καὶ ἀφαυήνας ἐπίχρισον ὀλιγίστῳ ἐλ|αίῳ ἐλαφρότατα καὶ πρήσας σπάρτῳ διάλαβε. {Εἶ} | Εἶτα ἀπάρτησον εἰς κεράμιον ὄξους δριμέος, ὡς τοῦ ‖ ὄξους μ`ὴ′ ἅπτεσθαι, καὶ τὸ κεράμιον ἐπιμελῶς, ὡς | μὴ διαπνέῃ, φίμου. Ἐὰν μὲν οὖν ἕωθεν καθῇς, ἑσ|πέρας ἀσφαλέως ἀπόμασσε πτερῷ τὸν ἰόν. Εἰ δὲ | ἑσπέρας, ἀπόψα κατὰ τὴν ἕω καὶ πάλιν ἀπάρτα, ἕστ’ ἂ(ν) | ἡ λεπὶς ἀπαναλωθῇ. Ὁσάκις δὲ ἂν ἀποψήσῃς, ‖ ἐλαίῳ ἐπίχριε τὴν λεπίδα, καθὼς πρ<ό>κειται. Τὸ μέ(ν)|τοι ὄξος εἰς χρῆσιν ἄχρηστον.

(109.) Ἰσάτεως συγκομιδή. |

Ἐκτεμόντα εἰς κόφινον συνθεῖναι ἐν | σκιᾷ καὶ συνθλά-

*σαντα κόπτειν καὶ ̓ἐ'ὰν ‖ ὅλην τὴν ἡμέραν, τῇ δὲ ἐχομένῃ διαψ|{ψ}ύχειν καὶ ἐμπεριπατεῖν, ὅπως ἀνα|βάλληται διὰ τῆς τῶν ποδῶν κινήσεως | καὶ ὁμαλῶς ξηραίνηται, καὶ συνθέντα εἰς | φορμοὺς ἀποθέσθαι. Καλεῖται δὲ χειρισθεῖ‖σα ἡ ἰσάτις οὕτως ἄνθραξ. |*

(110.) *Ἀνθρακίνου βαφή. |*
*Ὡς τάλαντον εἰς πίθον ἐμβαλεῖν | ἐν ἡλίῳ κείμενον, χωροῦντα μὴ ἔλασσον | μετρητῶν ιε′ καὶ ἐπισάξαι καλῶς. Εἶτ' ἐπι‖χέοντα οὖρον, ἕως ἂν ὑπερέχῃ τὸ ὑγρόν, | ἡλιάζειν, τῇ δὲ ἐχομένῃ ἀναποιῆσαι | συμπατοῦντα ἐν ἡλίῳ, ἕως ἀναδευθῇ |‖ {ἕως ἀναδευθῇ} καλῶς. Τοῦτο δὲ χρὴ ποιεῖν | ἐφ' ἡμέρας γ′.*

(135.) *Ἄλλη. [Βαφὴ πορφύρας.] |*
*Πορφύρα ψυχροβαφής. Ὕδατι λακκαίῳ | ἀνάκοψον ἄσβεστον. Τὴν κονίαν ἀποσειρ|ώσας στῦφε ὃ θέλεις ἀπὸ ὀψὲ ἕως πρωί, ‖ εἶτα ἀπόκλυζε γλυκεῖ ὕδατι, βάπτε δὲ | ἀφεψήματι φύκους πρῶτον. Εἶτα προσέμβ|αλε χάλκανθον.*

## Zosimus, On Excellence 2.171

*Καὶ ὧδε δὲ τῷ ῥηθέντι εἶπε· «τὰ θειώδη ὑπὸ τῶν θειωδῶν κατέχεται·» τὸ δὲ ἀληθές· «Ἡ φύσις τὴν φύσιν τέρπει, καὶ νικᾷ, καὶ κρατεῖ.»*

*Καθάπερ, φησὶν, ὁ ἄνθρωπος ἐκ τῶν δ′ στοιχείων, οὕτω καὶ ὁ χαλκός· καὶ ὥσπερ οὗτος ἐξ ὑγρῶν καὶ στερεῶν καὶ πνεύματος σύγκειται· οὕτω καὶ ὁ χαλκός· πνεῦμα δὲ τὴν νεφέλην ὁ Ἀπόλλων ἐν τοῖς χρησμοῖς λέγει·*
*... καὶ πνεῦμα μελάντερον, ὑγρὸν, ἄχραντον.*

## Zosimus, On Excellence 2.110

*Καὶ ταῦτα ἐμφαντασθεὶς διυπνίσθην πάλιν. Καὶ εἶπον πρὸς ἑαυτόν· «Τίς ἡ αἰτία τῆς ὀπτασίας ταύτης; Μὴ ἆρα τοῦτό ἐστιν τὸ ὕδωρ τὸ λευκόν τε καὶ ξανθὸν τὸ καχλάζον, τὸ θεῖον;» Καὶ ηὗρον ὅτι μᾶλλον καλῶς ἐνόησα. Καὶ εἶπον ὅτι καλὸν τὸ λέγειν, καὶ καλὸν τὸ ἀκούειν, καὶ καλὸν τὸ διδόναι, καὶ καλὸν τὸ λαμβάνειν, καὶ καλὸν τὸ πενητεύειν, καὶ καλὸν τὸ πλουτεῖν. Καὶ πῶς ἡ φύσις μανθάνει διδόναι καὶ λαμβάνειν; Δίδωσιν ὁ χαλκάνθρωπος, καὶ λαμβάνει ὁ ὑγρόλιθος· δίδωσι τὸ μέταλλον, καὶ λαμβάνει ἡ βοτάνη· δίδουσιν οἱ ἄστερες, καὶ λαμβάνει τὰ ἄνθη· δίδωσιν ὁ οὐρανὸς, καὶ λαμβάνει ἡ γῆ· δίδουσιν αἱ βρονταὶ τοῦ ἐκτροχίζοντος πυρός. Καὶ συμπλέκονται τὰ πάντα, καὶ ἀποπλέκονται τὰ πάντα, καὶ μίσγονται τὰ πάντα, καὶ συντίθενται τὰ πάντα, καὶ κίρναται τὰ πάντα, καὶ ἀποκίρναται τὰ πάντα, καὶ βρέξει τὰ πάντα, καὶ ἀποβρέξει τὰ πάντα, καὶ ἀνθεῖ τὰ πάντα, καὶ ἐξανθεῖ τὰ πάντα ἐν τῷ φιαλοβωμῷ. Ἕκαστον γὰρ μεθόδῳ καὶ σηκώματι καὶ οὐγγιασμῷ τετραστοίχῳ, ἡ τῶν*
(111.) *ὅλων συμπλοκὴ, καὶ ἀποπλοκὴ, καὶ, ὁ πᾶς σύνδεσμος ἄνευ μεθόδου οὐ γίνεται. Ἡ μέθοδος φυσική ἐστιν, καὶ φυσῶσα καὶ ἐκφυσῶσα, καὶ τὰς τάξεις τηροῦσα τῆς μεθόδου, αὔξουσα καὶ λήγουσα. Καὶ τὰ πάντα ὡς ἐν συντόμῳ σύμφωνα τῇ διαιρέσει καὶ τῇ ἑνώσει, τῆς μεθόδου μηδὲν ὑπολειφθείσης, ἐκστρέφει τὴν φύσιν. Ἡ γὰρ φύσις στρεφομένη εἰς ἑαυτὴν στρέφεται· καὶ αὕτη ἐστὶν ἡ τοῦ παντὸς κόσμου τῆς ἀρετῆς φύσις καὶ σύνδεσμος.*

Zosimus, The Work 3.117-

(117.) *ΠΟΙΗΜΑ ΤΟΥ ΑΥΤΟΥ ΖΩΣΙΜΟΥ. ΠΡΑΞΙΣ Γ* (14t)

*Καὶ πάλιν κατενόησα τὸν θεῖον καὶ ἱερὸν φιαλοβωμὸν, καὶ εἶδόν τινα ἱεροπρεπῆ λευκοποδήρην ἐνδεδυμένον ἱερουργοῦντα τὰ φοβερὰ ἐκεῖνα μυστήρια, καὶ εἶπον· «Ἆρα τίς ἐστιν οὗτος;» καὶ ἀποκριθεὶς εἶπέ μοι· «Οὗτός ἐστιν ὁ ἱερεὺς τῶν ἀδύτων. Οὗτος βούλεται αἱματῶσαι τὰ σώματα, καὶ ὀμματῶσαι τὰ ὄμματα, καὶ τὰ νενεκρωμένα ἀναστῆσαι.» Καὶ οὕτω πάλιν πεσὼν ἐκοιμήθην ἄλλον ὀλίγον, καὶ αὐτὸ δὴ ἐν τῷ ἐπανέρχεσθαί με ἐπὶ τὴν τετάρτην κλί-*
(118.) *μακα, εἶδον κατ' ἀνατολὰς ἐρχόμενον, κατέχοντα ἐν τῇ χειρὶ αὐτοῦ μάχαιραν. Καὶ ἄλλος ὀπίσω αὐτοῦ φέρων περιηκονισμένον τινὰ λευκοφόρον καὶ ὡραῖον τὴν ὄψιν, οὗ τὸ ὄνομα [αὐτοῦ] ἐκαλεῖτο μεσουράνισμα ἡλίου, καὶ ὡς πλησίον ἦλθον τῶν κολάσεων, λέγων ὅτι μάχαιραν κρατῶν, «Περιέτεμε αὐτοῦ τὴν κεφαλὴν, καὶ τὰ κρέατα αὐτοῦ θήσων ἀνὰ μέρος, καὶ τὰς σάρκας αὐτοῦ ἀνὰ μέρος, ὅπως αἱ σάρκες αὐτοῦ πρῶτον ἑψηθῶσιν ὀργανικῶς, καὶ τότε τῇ κολάσει παραπορευθῶσιν.» Καὶ οὕτως πάλιν ἔξυπνος γενόμενος εἶπον· «Καλῶς ἐπενόησα καὶ ὅτι περὶ ταῦτά ἐστιν τὰ ὑγρὰ τῆς μεταλλικῆς.» Καὶ πάλιν ὁ βαστάζων τὴν μάχαιραν ἔφη· «Πεπληρώκατε τὴν κάτω ἑπτὰ κλίμακας. Ὁ δὲ ἕτερος ἔφη ἅμα τῷ ἐκβαλεῖν τοὺς κρουνοὺς δι' ὑγρῶν πάντων· «Ἡ τέχνη πεπλήρωται.»*

Stob. Herm. 26.13, 28-29

*«Τί δέ ἐστιν», Ὧρος εἶπε, «τὸ φύραμα τοῦτο, ὦ τεκοῦσα;»*

*«Σύνοδός ἐστι καὶ κρᾶσις τῶν τεσσάρων στοιχείων, ἐξ ἧς κράσεως καὶ συνόδου ἀναθυμιᾶταί τις ἀτμός, ὃς περιειλεῖται μὲν τῇ ψυχῇ, διατρέχει δὲ ἐν σώματι, ἀμφοτέροις μεταδιδούς, τουτέστι τῷ σώματι καὶ τῇ ψυχῇ, τῆς ἰδίας ποιότητος· καὶ οὕτως αἱ διαφοραὶ τῶν ψυχικῶν καὶ τῶν σωματικῶν ἐναλλοιώσεων γίνονται. …*
(28) *ὥσπερ οὖν ὁ ἐκ τῆς πρώτης συνόδου καὶ κράσεως τῶν στοιχείων γιγνόμενος ἀτμὸς καὶ ὡσανεὶ ἔξαψις καὶ ἀναθυμίασις, ὁποῖος ἐὰν ᾖ, παραμιγεὶς τῇ ψυχῇ ἄγει αὐτὴν εἰς ἑαυτὸν ὡς ἂν ἔχῃ φύσεως, εἴτε σπουδαίως εἴτε μή.* (29) *τῇ γὰρ ἐξ ἀρχῆς πρὸς αὐτὸν οἰκειότητι καὶ συντροφίᾳ ἐπιμένουσα ἡ ψυχὴ τὴν τάξιν διατηρεῖ. ὅταν δὲ ἐπιπροσγένηται ἤτοι τῷ ὅλῳ συγκράματι ἢ καὶ μέρεσιν ἢ μέρει αὐτοῦ ἔξωθέν τις πλείω μοῖρα τοῦ προκαταβεβλημένου, τότε καὶ ὁ ἐντεῦθεν μεταλλοιούμενος ἀτμὸς μεταλλοιοῖ ἤτοι τὴν τῆς ψυχῆς διάθεσιν.*

## Isis to her Son Horus, prooimion

*Ἶσις προφῆτις τῷ υἱῷ Ὥρῳ. Ἀπιέναι σου μέλλοντος, ὦ τέκ-* (21) *νον, ἐπὶ ἀπίστου Τύφωνος μάχης καταγωνίσασθαι περὶ τοῦ πατρός* (29.) *σου βασιλείας, γενομένης μου <εἰς> Ὁρμανουθὶ, ἱερᾶς τέχνης Αἰγύπτου, καὶ ἐνταῦθα ἱκανὸν χρόνον διέτριβον. Κατὰ δὲ τὴν τῶν καιρῶν παραχώρησιν, καὶ τὴν τῆς φευρικῆς κινήσεως ἀναγκαίαν φορὰν συνέβη τινὰ τῶν ἐν τῷ πρώτῳ στερεώματι διατρίβοντα τὸν ἕνα τῶν ἀγγέλων, ἄνωθεν ἐπιθεωρήσαντά με βουληθῆναι τῆς πρὸς ἐμὲ μίξεως κοινωνίαν ποιῆσαι. Φθάσαντος δὲ αὐτοῦ καὶ εἰς τοῦτο γίγνεσθαι μέλλοντος, οὐκ ἐπέτρεπον ἐγὼ, πυνθάνεσθαι βουλομένη τὴν τοῦ χρυσοῦ καὶ ἀργύρου κατασκευήν. Ἐμοῦ δὲ τοῦτο αὐτῷ ἐρωτησάσης, <οὐκ> ἔφη ὁ αὐτὸς ἐφιέσθαι περὶ τοῦτο ἐξειπεῖν, διὰ τὴν τῶν μυστηρίων ὑπερβολὴν, τῇ δὲ ἑξῆς ἡμέρᾳ παραγίγνεσθαι τὸν τούτου μείζονα ἄγγελον Ἀμναὴλ· κἀκεῖνον ἱκανὸν εἶναι περὶ τῆς τούτων ζητήσεως ἐπίλυσιν ποιήσασθαι.*

*Ἔλεγεν δὲ [περὶ] σημεῖον αὐτοῦ ἑλεῖν αὐτὸν ἐπὶ τῆς κεφαλῆς, καὶ ἐπιδείκνυσθαι κεράμιον ἀπίσσωτον ὕδατος διαυγοῦς πλῆρες. Ἐβούλετο τὸ ἀληθὲς λέγειν.*

*Τῇ δὲ ἑξῆς ἡμέρᾳ ἐπεμφανήσας καὶ τοῦ ἡλίου μέσον δρόμον ποιοῦντος, κατῆλθεν ὁ τούτου μείζων Ἀμναὴλ τῷ αὐτῷ περὶ ἐμὲ λειφθεὶς πόθῳ οὐκ ἀνέμενεν· ἀλλ' ἔσπευδεν ἐφ' οὗ καὶ παρῆν, ἐγὼ δὲ οὐχ ἧττον ἐφρόντιζον περὶ τούτων ἐρευνᾶν.*

*Ἐγχρονίζοντος δὲ αὐτοῦ, οὐκ ἐπεδίδουν ἑαυτὴν, ἀλλ' ἐπεκράτουν τῆς τούτου ἐπιθυμίας ἄχρις ἂν τὸ σημεῖον τὸ ἐπὶ τῆς κεφαλῆς ἐπιδείκνυται καὶ τὴν τῶν ζητουμένων μυστηρίων παράδοσιν ἀφθόνως καὶ ἀληθῶς ποιήσηται.*

*Λοιπὸν οὖν καὶ τὸ σημεῖον ἐπεδείκνυτο καὶ τῶν μυστηρίων ἤρχετο καὶ ἐπὶ παραγγελίας καὶ ὅρκους ἐκχωρίσας ἔλεγεν·* (30.) *Ὁρκίζω σε εἰς οὐρανὸν, γῆν, φῶς καὶ σκότος. Ὁρκίζω σε εἰς πῦρ καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν. Ὁρκίζω σε εἰς ὕψος οὐρανοῦ καὶ γῆς καὶ Ταρτάρου βάθος. Ὁρκίζω σε εἰς Ἑρμῆν, καὶ Ἀνουβὶν, ὕλαγμα τῶν Κερκόρου, δράκοντα τὸν φύλακα. Ὁρκίζω σε εἰς τὸ πορθμεῖον ἐκεῖνο, καὶ <δι'> Ἀχέροντα ναυτίλον. Ὁρκίζω σε εἰς τὰς τρεῖς ἀνάγκας καὶ μάστιγας καὶ ξίφος.*

*Τούτοις με ἐφορκίσας παρήγγειλεν μηδενὶ μεταδιδόναι εἰ μὴ μόνον τέκνῳ καὶ φίλῳ γνησίῳ, ἵνα ᾖ αὐτὸς σὺ, καὶ σὺ ᾖ αὐτός. Παρελθὼν οὖν σκόπησον καὶ ἐρώτησον Ἀχάραντον γεωργὸν, καὶ μάθε <ἀπ'> αὐτοῦ τί μέν ἐστιν τὸ σπειρόμενον, τί δὲ καὶ τὸ θεριζόμενον, καὶ μάθῃς ὅτι σπεῖρον τὸν σῖτον καὶ θερίσει· καὶ ὁ σπείρων τὴν κριθὴν ὁμοίως καὶ κριθὴν θερίσει.*

*Ταῦτα, τέκνον, διὰ προοίμιον ἀκηκοὼς, ἐννόησον τὴν τούτων ὅλην δημιουργίαν τε καὶ γέννησιν· καὶ γνῶθι ὅτι ἄνθρωπος ἄνθρωπον οἶδεν σπείρειν, καὶ ὁ λέων λέοντα, καὶ ὁ κύων κύνα. Εἰ δέ τι τῶν παρὰ φύσιν συμβαίνει γενέσθαι ὥσπερ τέρας γεννᾶται καὶ οὐχ ἕξει σύστασιν· ἡ γὰρ φύσις τὴν φύσιν τέρπεται, καὶ ἡ φύσις τὴν φύσιν νικᾷ.*

*Αὐτῇ οὖν δυνάμεως θείας μετεσχηκότες καὶ παρουσίας εὐτυχήσαντες, κἀκείνοις προσλαμπομένοις αὐτοῖς ἐξ αἰτήσεως, ἐξ ἄμμων, καὶ οὐκ ἐξ ἄλλων οὐσιῶν. κατασκευάσαντες, ἐπέτυχον διὰ τὸ τῆς οὔσης φύσεως ὑπάρχειν τὴν προσβαλλομένην ὕλην τοῦ κατασκευαζομένου, Ὡς γὰρ προεῖπον ὅτι ὁ σῖτος σῖτον γεννᾷ, καὶ ἄνθρωπος ἄνθρωπον σπείρει, οὕτως καὶ ὁ χρυσὸς χρυσὸν θερίζει, τὸ ὅμοιον τὸ ὅμοιον. Ἐφανερώθη νῦν δὲ τὸ μυστήριον.*

(31.) *Καὶ λαβὼν ὑδράργυρον, πῆξον αὐτὴν ἢ διὰ βωλίου, ἢ διὰ σώματος μαγνησίας, ἢ διὰ θείου, καὶ ἔχε, τοῦτό ἐστιν τὸ χλιαροπαγές. Μίξις εἰδῶν· τοῦ μολύβδου τοῦ χλιαροπαγοῦς μέρος α', καὶ λευκολίθου μέρη δύο, καὶ ὁμολίθου μέρος α', καὶ ξανθῆς σανδαράχης μέρος α', καὶ βατραχίου μέρος α'. Ταῦτα συμμίξας τῷ μολύβδῳ μὴ σκορπισθέντι ἀναχώνευσον τρίς.*